†Ἐπεὶ οἱ μοναχοὶ τῆς κατὰ τὴν Πάτμον σεβασμί(ας) μονῆς, τ(ῆς) εἰς ὄνομα |2 τιμωμένης τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰω(άνν)ου τοῦ Θεολόγου, ἀνέφερον |3 ὅτι κέκτηνται εἰς νῆσον Λῆμνον μετόχιον, ἐπ' ὀνόματι τιμώμενον τοῦ |4 τιμίου ἀρχιστρατήγου τῶν Ἄνω Δυνάμεων Μιχαήλ, ᾧτινι πρόσεισιν |5 ἀμπέλια τινά, χ[ωράφια καὶ ὑδρομύ]λων χειμερινός, περιβόλ(ιον) καὶ πάροικοι, ἐφ' οἷς |6 ἐγένετο αὐτῷ καὶ ἀπογραφικὴ σιγιλλιώδης ἀποκατάστασ(ις)· ὁμοίως |7 πρόσεισι τούτῳ δὴ τῷ μετοχίῳ διὰ προστάγματος καὶ ἕτεροι πάροικοι, εὑρισκόμ(εν)οι |8 εἰς τὸ χωρίον τὸ Λαγωπατ(ον), τὸ Νεοχώρι(ον), τὸ Ῥεπανίδιον, τὸ Πτέρ(ιν) καὶ εἰς τὸ τοῦ |9 Ζυματᾶ· ὡσαύτως ἔχουσιν εἰς τὴν τοιαύτ(ην) νῆσον καὶ δύο θείους ναούς, |10 τιμωμένους ἐπ' ὀνόματι τῆς ὑπεραγί(ας) Θ(εοτό)κου τῆς Ὁδηγητρί(ας) καὶ τοῦ ἁγ(ίου) Γεωργί(ου)· |11 ἔχουσι καὶ εἰς ἑτέραν νῆσον, τὴν Λέρον, ἀπὸ προσενέξεως τινῶν, ἤγουν τοῦ Καθαρομαν|12δύλη καὶ τοῦ Βάρδα, ἀμπέλιον καὶ ἕτερα κτήματα· καὶ παρεκλήτευσαν τυχεῖν |13 ἐπὶ τούτοις καὶ χρυσοβούλ λου· τὴν δέησ(ιν) αὐτῶν προσδεξαμ(έν)η ἡ βασιλ(εί)α μου, |14 τὸ παρὸν χρυσόβουλλον **σιγίλλιον** ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει |15 τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ τοῦ ἁγίου Ἰω(άνν)ου τοῦ Θεολόγου· δι' οὗ προστάσσει |16 καὶ διορίζεται κατέχειν τοὺς ἐν αὐτῇ ἀσκουμένους μοναχοὺς καὶ εἰς τὸ ἑξῆς |17 ἀνενοχλήτως, ἀναφαιρέτως τὲ καὶ ἀναποσπάστως τὸ εἰς τὴν νῆσον Λῆμνον |18 δηλωθ(ὲν) μετόχιον αὐτῶν, τοῦ τιμίου Ἀρχιστρατήγου μετὰ τῶν προσόντ(ων) αὐτῷ |19 κτημάτ(ων), τῶν καὶ κατὰ μέρος εἰρημένων, ἀλλὰ δὴ καὶ τῶν δηλωθέντ(ων) παροίκων, |20 κατὰ τὴν περίληψ(ιν) τοῦ, οὗπερ κέκτηνται, προστάγματος καὶ τῆς εἰρημ(έν)ης ἀπογραφικ(ῆς) |21 ἀποκαταστάσεως· ὁμοίως κατέχειν ἀνεμποδίστως καὶ τοὺς διαληφθέντ(ας) δύο |22 θείους ναούς· ἔτι δὲ καὶ τὰ εἰς τὴν Λέρον ἕτερα κτήματα αὐτῶν· καὶ μὴ εὑρίσκ(ειν) |23 τὴν τυχοῦσαν διενόχλησ(ιν) ἢ καταδυναστείαν ἐπὶ τῇ κατοχῇ καὶ νομῇ |24 αὐτῶν· ὀφείλουσι μέντοι, τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος |25 χρυσοβούλλου **σιγιλλίου** τῆς βασιλείας μου καὶ |26 οἱ κατὰ καιροὺς κεφαλατικεύοντες εἰς τὴν ῥηθεῖσαν νῆσον Λῆμνον, |27 ἔτι δὲ καὶ οἱ τὰ τοῦ δημοσίου διενεργοῦντες ἐν αὐτῇ, διατηρεῖν |28 παντὰ πασ(ιν) ἀνενόχλητον καὶ ἀτάραχον τὸ τοιοῦτ(ον) μετόχιον αὐτῶν μετὰ |29 τῶν προσόντων, ὡς εἴρηται, αὐτῷ καὶ μὴ ἐπάγειν |30 εἰς αὐτ(ὸν) διασεισμὸν ἢ ἐπήρειαν καὶ κατατριβὴν τινά· διὰ γὰρ τοῦτο |31 ἐγένετο καὶ τὸ παρὸν χρυσόβουλλ(ον) **σιγίλλιον** τ(ῆς) |32 βασιλεί(ας) μου καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῇ διαλη|33φθείσῃ σεβασμίᾳ μονῇ εἰς βεβαίαν ἀνενο|34χλησίαν τῶν ἐν αὐτῇ μοναχῶν καὶ ἀσφάλειαν†.

|35 μη(νὶ) Μαρτ(ίῳ), (ἰνδικτιῶνος) ς'†